Poseidon complains that the Phaeaecians have been disrespecting his wishes in taking Odysseus back to Ithaca. Zeus placates him.

“Ζεῦ πάτερ, οὐκέτ’ ἐγώ γε μετ’ ἀθανάτοισι θεοῖσι
τιμήεις ἔσομαι, ὅτε με βροτοὶ οὔ τι τίουσιν,
Φαίηκες, τοί πέρ τοι ἐμῆς ἔξ εἰσι γενέθλης.
καὶ γὰρ νῦν Ὀδυσῆ’ ἐφάμην κακὰ πολλὰ παθόντα
οἴκαδ’ ἐλεύσεσθαι· νόστον δέ οἱ οὔ ποτ’ ἀπηύρων
πάγχυ, ἐπεὶ σὺ πρῶτον ὑπέσχεο καὶ κατένευσας.
οἱ δ’ εὖδοντ’ ἐν νηῒ θοῇ ἐπὶ πόντον ἄγοντες
κάτθεσαν εἰν Ἰθάκῃ, ἔδοσαν δέ οἱ ἄσπετα δῶρα,
χαλκόν τε χρυσόν τε ἅλις ἐσθῆτά θ’ ὑφαντήν,
πόλλ’, ὅσ’ ἂν οὐδέ ποτε Τροίης ἐξήρατ’ Ὀδυσσεύς,
εἴ περ ἀπήμων ἦλθε, λαχὼν ἀπὸ λῆΐδος αἶσαν.”
τὸν δ’ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεὺς·
“ὢ πόποι, ἐννοσίγαι’ εὐρυσθενές, οἷον ἔειπες.
οὔ τί σ’ ἀτιμάζουσι θεοί· χαλεπὸν δέ κεν εἴη
πρεσβύτατον καὶ ἄριστον ἀτιμίῃσιν ἰάλλειν.
ἀνδρῶν δ’ εἴ πέρ τίς σε βίῃ καὶ κάρτεϊ εἴκων
οὔ τι τίει σοὶ δ’ ἐστὶ καὶ ἐξοπίσω τίσις αἰεί.
ἔρξον ὅπως ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ.”

Homer Odyssey 13 128-145
1A 1 2003

ἀπαυράω - to deprive
ἰάλλω - to send, dispatch